D ἐπιτηδευμάτων ἡ δ' ὀκνηροὺς πρὸς τὰ φαῦλα τῶν ἔργων ἀπεργάζεται. **17.** Καθόλου δ' ἀπείργειν προσήκει τοὺς παῖδας τῆς πρὸς τοὺς πονηροὺς ἀνθρώπους συνουσίας· ἀποφέρονται γάρ τι τῆς τούτων κακίας. τοῦτο δὲ παρήγγειλε καὶ Πυθαγόρας αἰνίγμασιν ἅπερ ἐγὼ παραθεὶς ἐξηγήσομαι· καὶ γὰρ ταῦτα πρὸς ἀρετῆς κτῆσιν συμβάλλεται ῥοπὴν οὐκ ἐλαχίστην. οἷον 'μὴ γεύεσθαι μελανούρων', τουτέστι μὴ συνδιατρίβειν μέλασιν ἀνθρώποις διὰ κακοήθειαν. 'μὴ ζυγὸν ὑπερβαίνειν,' τουτέστιν ὅτι δεῖ τῆς δικαιοσύνης πλεῖστον ποιεῖσθαι λόγον καὶ μὴ ταύτην ὑπερβαίνειν. 'μὴ ἐπὶ χοίνικος καθίσαι,' ἤτοι φεύγειν ἀργίαν καὶ E προνοεῖν ὅπως τὴν ἀναγκαίαν παρασκευάσομεν τροφήν. 'μὴ παντὶ ἐμβάλλειν δεξιάν,' ἀντὶ τοῦ προχείρως οὐ δεῖ συναλλάσσειν. 'μὴ φορεῖν στενὸν δακτύλιον', ὅτι δεῖ τὸν βίον <ἐλεύθερον> ἐπιτηδεύειν καὶ μηδενὶ δεσμῷ προσάπτειν [αὐτόν]. 'πῦρ σιδήρῳ μὴ σκαλεύειν,' ἀντὶ τοῦ θυμούμενον μὴ ἐρεθίζειν· οὐ γὰρ προσῆκεν, ἀλλ' ὑπείκειν τοῖς ὀργιζομένοις. 'μὴ ἐσθίειν καρδίαν,' μὴ βλάπτειν τὴν ψυχὴν ταῖς φροντίσιν αὐτὴν κατατρύχοντα. 'κυάμων ἀπέχεσθαι,' ὅτι οὐ δεῖ πολιτεύεσθαι· κυαμευταὶ γὰρ ἦσαν ἔμπροσθεν αἱ ψηφοφορίαι δι' ὧν πέρας F ἐπετίθεσαν ταῖς ἀρχαῖς. 'σιτίον εἰς ἀμίδα μὴ ἐμβάλλειν·' ἐπισημαίνει γὰρ ὅτι εἰς πονηρὰν ψυχὴν ἀστεῖον λόγον ἐμβάλλειν οὐ προσῆκεν· ὁ μὲν γὰρ λόγος τροφὴ διανοίας ἐστί, τοῦτον δ' ἀκάθαρτον ἡ πονηρία ποιεῖ τῶν ἀνθρώπων. 'μὴ ἐπιστρέφεσθαι ἐπὶ τοὺς ὅρους ἐλθόντας,' τουτέστι μέλλοντας ἀποθνήσκειν καὶ τὸν ὅρον τοῦ βίου πλησίον ὄντα ὁρῶντας φέρειν εὐκόλως καὶ μὴ ἀθυμεῖν.